ψήφισμα, καὶ τίνος χάριν ἡ ἐκκλησία ἐποιεῖτο, δηλοῖ, A καὶ τίς τούτων πρώτη ἐκκλησιάζειν βούλεται, φανερῶς ἐρωτᾷ. τέλος δὲ γυνή τις παρελθοῦσα ἑαυτὴν λέγειν ἑτοίμην εἶναι ἀποκρίνεται. ταύτην οὖν ὁ κῆρυξ κατ' ἔθος στεφάνῳ στεφανώσας, εὐφημίαν, καὶ σιωπὴν πᾶσι κηρύττει. εἰσὶ δὲ στίχοι μικτοὶ, καὶ ποικίλοι λϛ'. μεθ' οὓς ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κα'. καὶ πάλιν στίχοι μικτοὶ κ'. οἷς ἕπονται στίχοι ἰαμβικοὶ τοῖς προηγουμένοις B ὅμοιοι, θ. καὶ μετὰ τούτους ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ β'. ὧν τελευταῖος, Ὅπερ ποιοῦσ' οἱ ῥήτορες. Τῇ Καλλιγενείᾳ] οἱ μὲν τροφὸν τῆς Δήμητρος, οἱ δὲ ἀκόλουθον εἶναι λέγουσιν. Ἡσύχιος. τινὲς δὲ καὶ ἀντὶ τῆς εὐγενείας λαμβάνουσιν, ἥπερ ἐστὶν ὅτε τῷ πλούτῳ ἀκολουθεῖ. Τῇ κουροτρόφῳ] κουροτρόφος, παιδοτρόφος. ταύτῃ δέ φασι πρῶτον Ἐριχθόνιον ἐν ἀκροπόλει θῦσαι, καὶ βωμὸν ἱδρύσασθαι, χάριν ἀποδιδόντα τῇ γῇ τῶν τροφείων. καταστῆσαι δὲ νόμον τοὺς θύοντας τινὶ θεῷ, ταύτῃ προθύειν. Σ. Ἰὴ παιών] ἐπιφώνημα λεγόμενον ἐν τόποις, ὅπου τὸ θεῖον τιμᾶται. ἔστι δὲ ἐπῳδὸς τοῦ παιανικοῦ ὕμνου. Εὐστάθιος. μεγαλώνυμε δὲ, μεγαλόδοξε. Ἡσύχιος. Χρυσολύρα τε] Ἀπόλλων οὕτω ἐπιθετικῶς καλεῖται. χρυσολύρης, ὁ χρυσήρης, εἴτε χρυσῆν λύραν ἔχων.

Δῆλον ὃς ἔχεις ἱεράν.
Καὶ σὺ παγκρατὴς κόρα
Γλαυκῶπι χρυσόλογχε,
Πόλιν οἰκοῦσα περιμάχητον ἐλθὲ δεῦρο.
Καὶ πολυώνυμε, θηροφόνε παῖ
Λατοῦς χρυσώπιδος ἔρνος.
Σύ τε πόντιε σεμνὲ Πόσειδον
Ἁλιμέδον, προλιπὼν
Μυχὸν ἰχθυόεντ' οἰστροδίνητον
Νηρέος. ἐνάλιοί τε κόραι.
Νύμφαι τ' ὀρείπλαγκτοι.
Χρυσέα τε φόρμιγξ. ἰαχήσειεν ἐπ' εὐχαῖς
Ἡμετέραις. τελέως
Δ' ἐκκλησιάσαι μὲν Ἀθηναίων
Εὐγενεῖς γυναῖκες.
Κη. Εὔχεσθε τοῖς θεοῖσι τοῖς ὀλυμπίοις
Καὶ ταῖς ὀλυμπίαισι. καὶ τοῖς πυθίοις
Καὶ ταῖσι πυθίαισι. καὶ τοῖς δηλίοις
Καὶ ταῖσι δηλίαισι. καὶ τοῖς ἄλλοις θεοῖς
Εἴ τις ἐπιβουλεύει τι τῷ δήμῳ κακὸν,
Τῷ τῶν γυναικῶν. ἢ 'πικηρυκεύεται
Εὐριπίδῃ, Μήδοις ἐπὶ βλάβῃ τινὶ,
Τῇ τῶν γυναικῶν. ἢ τυραννεῖν ἐπινοεῖ.
Ἢ τὸν τύραννον συγκατάγειν. ἢ παιδίον
Ὑποβαλλομένης κατεῖπέν τις, ἢ δούλη τι-
νὸς

*Delum qui habes sacram.*
*Et tu omnipotens Puella*
*Diana, cæsia oculos, aurea lancea vtens,*
*Vrbem habitans celeberrimam, & de qua omnes certant, veni huc.*
C *Et celebris Pythonis feræ interfector fili,*
*Latonæ, aureos oculos habentis germen.*
*Túque maxime venerande Neptune*
*Mari imperans, relinquens*
*Secessum piscosum, tempestuosum:*
*Nerei mariníque filiæ,*
*Nymphæq́; montiuagæ,*
*Aureaq́; lyra polleat in precibus*
*Nostris, perfecteq́;*
D *Concionemur Atheniensium*
*Nobiles mulieres.*
PRAE. *Preces fundite diis cœlestibus,*
*Et deabus Olympiis & Pythiis,*
*Et Pythiis deabus, & Deliis,*
*Et Deliis deabus, & reliquis diis:*
*Si quis per insidias struit aliquod populo malũ,*
*Populo inquã mulierũ, vel inducias & amicitias*
*Cũ Euripide & Medis, ob dãnũ aliquod (facit*
*Mulierum, vel tyrannidem occupare cogitat.*
E *Vel tyrannum restituere: vel infantem*
*Supponentẽ indicauit aliqua, vel serua alicuius*

BISETVS. Δῆλον ὃς ἔχεις] ὃς Δήλου βασιλεύεις. ὃς ἐν Δήλῳ τιμᾶται. ὅθεν καὶ Δήλιος ἐπωνομάσθη.

BOVRDINVS. Ἔχεις.] κατέχεις, καὶ ἄρχεις Δήλῳ ἱερᾷ. Πάγκρατε.] πανδύναμε. Περιμάχητον.] πολεμικὴν καὶ ῥωμαλέαν. Ἁλιμέδον.] εὔποντομέδον. Μυχόν.] μυχὸς ὁ σκοτεινὸς τόπος ὁ ἐνδότατος καὶ κατάδυσις. παρῆχθαι δὲ τοῦτο τ' ὄνομα ἀπὸ τοῦ νὺξ νυκτὸς καὶ τροπῇ ἢ μεταβολῇ τοῦ ν εἰς μ, μυχὸς λέγεται. Ἰχθυόεντα.] πλέων ἰχθύων. Οἰστροδίνητον.] ὑπ' ἀνέμων δινούμενον, ἐλαυνόμενον, ταραττόμενόν τε. οἶστρος γάρ ἐστιν ἐρέθισις βιαία, καὶ πύρωσις, ἔκκαυσίς τε, πύρωσις ἐμμανής. λέγεται δὲ κυρίως ὁ οἶστρος μυῖα ὑπόχαλκος, ἐγχρίμπτουσα ἐν τῷ καύματι τοῖς βουσὶ, καὶ ποιοῦσ' ἐλαύνεσθαι. Ἐναλίου.] θαλασσίου. Ὀρείπλαγκτοι.] πλαζόμεναι, τουτέστι πλανώμεναι ἐν ὄρεσι. Ἰσχύσειεν.] ἔχοιεν ἰσχὺν καὶ δύναμιν. Τελέως.] παντελῶς καὶ καλῶς. Εὔχεσθε.) αἱ ἀραὶ κήρυκος καὶ εὐχαί. ἐν ταύταις δ' ὑπερβολήν τινα ὁ Ἀριστοφάνης διασώζει τοῦ πρέποντος, καὶ γὰρ συναρμοττόντως τοῖς γοητεύμασι καὶ μαγγανεύμασι τῶν γυναικῶν πάσας ἐκείνων ἀσεβεῖς ἀδίκους καὶ γοητευτικὰς πράξεις εὐχάς τε διασημαίνει, καὶ οὐδὲν ἄλλο διαζητούσας ἢ λαθεῖν κακῶς πραττούσας, δόξαν δὲ εὐσεβείας μόνον παρεχούσας. Ἐπικηρυκεύεται.) κηρυκείαν τινα ποιεῖται, καὶ πέμπει Εὐριπίδῃ ἐπὶ κακῷ τῶν γυναικῶν. Μήδοις.) οἵπερ ἔχθιστοι πάσῃ τῇ Ἑλλάδι γεγόνασι, καὶ ἐλευθερίαν ἐκείνης ἀφελέσθαι ἐπεχείρησαν. τούτῳ δὲ χρῆται ὁ Ἀριστοφάνης ἐπὶ τῷ μᾶλλον ἐξελέγχειν τὸ ἔχθος γυναικῶν κατ' Εὐριπίδου. Ὑποβαλλομένης.) ὑποτιθεμένης. ὅθεν καὶ λέγεται παῖς ὑποβολιμαῖος ὁ ὑποτεθείς, ὡς καὶ χρῆται Δημοσθένης ἐν τῷ λόγῳ τῶν φιλιππικῶν ϛ.

BISET. Καὶ σὺ πάγκρατε] ταῦτα πάντα τῆς Ἀθηνᾶς F ἐστὶν ἐπίθετα. σημείωσαι δὲ τὸ πάγκρατε, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, παρὰ τοῦ πάγκρατος εὐθεῖαν παράγεσθαι, ὅπερ καινότερον. διό τινες παγκρατὴς γραπτέον νομίζουσιν. ὃ καὶ βέλτιον, καὶ κοινότερον. παγκρατὴς δὲ, ὁ πάντα κρατῶν, ἢ ὁ πάντων κρατῶν. γλαυκῶπις δὲ, ἡ τοὺς ὦπας, ἤγουν ὀφθαλμοὺς ἔχουσα τὸ χρῶμα γλαυκοὺς, καὶ καταπληκτικούς. χρυσόλογχος δὲ, ἡ χρυσῆν ἔχουσα λόγχην. Πόλιν οἰκοῦσα περιμάχητον] περιφραστικῶς τὰς Ἀθήνας οὕτω καλεῖ. περιμάχητον δὲ λέγεται τὸ πολυτίμιον, περὶ οὗ τινες ἐν ἀλλήλοις διαμάχονται, ἵνα τούτου κρατῶσι, καὶ τοῦτο κτήσωνται. Θηροφόνε] θηροκτόνε. τὸν Ἀπόλλωνα δηλοῖ, ὃς καὶ τοξότης, καὶ θηρείων διώ-G κτης, καὶ φονεύς. τὸ δὲ ἔρνος, εος, ους. ὁ κλάδος. τὸ στέλεχος. δένδρον εὐθαλές. βλάστημα. φυτόν. ἐνταῦθα δὲ μεταφορικῶς τὸν υἱὸν σημαίνει. χρυσῶπις δὲ, ἡ χρυσοῦς ὦπας, χρυσοῦς ὀφθαλμοὺς, τουτέστι χρυσοῦ δίκην καλοὺς ἔχουσα ὀφθαλμούς. καλὴ οὖσα. Ἁλιμέδον] Ποσειδῶνος ἐπίθετον. ὁ τοῦ ἁλὸς μέδων, ὁ τῆς θαλάσσης ἄρχων, καὶ βασιλεύς.

Μυχόν]